Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-288555-p0001-1

~~9.12~~ EX BIBLIOTH.
NATIONIS HUNGAR.
VITEBERG.
VI-i
SIGNAT. cIↄIↄCCCXIII.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-288555-p0002-7

# ΤΟ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΠΑΝΔΗΜΟΝ ΠΕΝΘΟΣ

Ἐπὶ

τῷ ἐνταφιασμῷ

Ἀνδρὸς

σεμνοτάτου, μεγαλοπρεπέως, καὶ περιωνύμου

Κυρίου

# ΚΑΣΠΑΡΟΣ ΛΟΙΣΧΗΡΟΥ,

Τῆς ἁγίου Θεολογίας διδασκάλου,

καὶ ταύτης καθηγητοῦ πάντων ἐξόχου, τῆς ἑαυτοῦ τάξεως ὁμοῦ καὶ
τῆς γερουσίας ἐκκλησιαστικῆς πρεσβυτέρου, ποιμένος τῆς ἐν λευκόριδι ποιμένου
ἐκκλησίας, τῶν κύκλῳ ἐν ὅλῃ τῇ ἐπαρχίᾳ ἐκκλησιῶν ἐπισκόπου
εὐκλεεστάτου.

Τῇ ιδʹ ἡμέρᾳ Αὐγούστου

Ἔτει χριστογονίας Μ |Η| ΗΗ ΔΠΙΙΙ

ἐναγιζομένου

Καί τοῖς ΚΑΤ' ΙΔΙΑΝ ΔΑΚΡΥΣΙΝ

παραπέμπειν ἐσπούδασε

θεραπευτὴς κυδαλίμου ὀνόματος αὐτοῦ ὑποχείριος

Γεώργιος Οὐόλδικε

Ἀττερσληβίᾳ - Δάνος.

---

Ἐν Βιτλεμβέργῃ, ἐτυπώθη παρὰ Χριστιανῷ Σχροιδέρῳ,

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-288555-p0003-2

Οἰμωγῆς, Μοῦσαι, φαιδρὰς ἀλλάσσετ' ἀοιδάς,
Καὶ θρήνοις κοπετῶν κλαίετ' ἀμειβομένοις.
Κλαίετ, ἀμειβομένοις τε γόοις πικρῶν ὀλοφυρμῶν.
Ὥστε πόλις πένθος πᾶσ' ἐπίκοινον ἄγει.
Λεύκορις αἰάζει, γένος ἐκλεκτὸν περὶ πίστιν
Ἑβραίων, κλαυθμὸν στυστενόεντα φέρει.
Δάκρυσι Μοῦσαι τεοῖς, ἄγε δὴ, ῥανθὸν κυπαρίσσου
Ἔρνος, ἐπὶ σεπτὸν μνῆμ' ἐνερείδε μέλαν,
ΛΟΙΣΧΗΡΟΝ γὰρ θρηνήσεις πολυήρατον ἄνδρα,
Ὃς περὶ τὴν πίστιν, μήδετο πολλὰ σοφῶς.
Ὅσγε πόλει ποιμὴν, ὀρθῶς στοιχοῦντας ὀφέλλων,
Ἅρμ' αὐτοῖς, ἱππεὺς, καίγ' ἐῢς ἔσκε πατήρ.
Ὃς δὲ καὶ ἀτρεκέως πρὸς ῥῆμα Θεοῖο διδάσκων,
Βήμεναι εὐσεβέως οἶμον ἔδειξε βίου.
Στρεβλὰ διδάσκοντας, ἀγαθῆς ἤλαλκε ἀπὸ ποίμνης
Φειδωλὴν καμάτων ἐδεμίην θέμενος.
Αἰπείνης σοφίης ἀρετῆς τε περαίτερον αὐτὸς
Τηρήσας σταθμὴν, εὐθὺ κέλευθον ἔβη.
Ὤφελον εὐλαλίης ἂν δίφρῳ πρόσφορος εἴην,
Ταῖς εὐρησιεπῶν ἰδμοσύνῃσι λαλῶν.
Ὥστε ἀνδρὸς ἀρεταῖς μεγάλου, πάντ' ἐκκορυφῶσαι
Πράγματα, καὶ νίκας ἴδεια τ' ἔργα λέγειν!

Οὐτοί-

Οὐ τοίνον μέγα, δημόσιον κακὸν, ἐϊ φέρε πᾶσιν,
ΛΟΙCΧΗΡΟΥ θάνατος, ἄλγεα, καὶ σοναχάς.
Μοῖρα μὲν ἀδιάπταιστος ὅλως οὐκ ὤλεσεν ἄνδρα,
Κάρφει σῶμα μόνον· νοῦς γὰρ ἄσηπτος ἔνι.
Ἀλλὰ πέρας δείκνυσιν ἐφημερίοιο τελευτῆς,
Ἀρχὴν τῆς βιοτῆς καὶ βραχὺ τέρμα μόρου.
Πότμον ἔφαψ' αἰών· κήδει δ' ἄρα κῦδος ὀπάζει.
Καὶ κλέος ἐνδόξου κυδαλίμου τε βίου.
Τοῖς ἐξηγηταῖς τοῖς τ' ἑρμηνεῦσι Θεοῖο,
Εὐθνήσκειν λέγεται δόγμα μέγιστον ἀεί.
Μαρτυρεῖ γὰρ δὴ ΛΟΙCΧΗΡΩι τοῦτο καθέδρα,
Εἰς ὅσον ἐν σοφίης τῷ προέκοψε μέρει.
Μαρτυρεῖ πάντως καίγ' ἀκροαλήεια πολλά,
Φιλομαθαῖς ταύτην συχνὰ δεδεῖχθαι ὁδόν.
Εὗρε βίον τοίνυν μοίρας βαθμοῖσι πορευθεὶς,
Θνήσκων, τῆς αἴσης, οἶμον ἄπειρον ὁρᾷ.
Τῆς σοφίης πλήρωμα, λόγοις ἄρρητον, ἐπεῖδεν,
Ἰδμοσύνης θείας ἀγνοῶν οὐθ' ὅτι οὖν.
Ὄμματα μὲν μέμυκ', ἀλλὰ καὶ ὀφθαλμοῖς καλακλείστοις,
Ὅσσα τις ὀφθαλμὸς μηδέποτ' εἶδε βλέπει.
Ἔνθακε, τῆς γαίης δέλτους καὶ γράμματα πτύξας,
Ὡραῖον ζωῆς νῦν ἀνέπτυξε βίβλον.
Καὶ γὰρ δὴ πάντων τῶν πιστῶν ηὔξατο λαὸς,
Γῆρας ΛΟΙCΧΗΡΟΥ ὡς ἀετοῖο πέλειν.
Τοὺς δὲ τριχὰς πολιοὺς, εἰς ἔαρ ἐτῶν ἀνακάμψαι,
Στρέψασθαι τε μένος σώματος, ὥστε νεόν.
Εἰς ἄφενον ποίμνης Χριστοῦ σπεύδοντος, ἕκαστος
Ηὔχετ' ἀναπλήθειν ἤμασι τοῖς ἰδίοις.

Νῦν

Νῦν δὲ σαλευομένη δὴ δρῦς ἀποτίννυται ὄρει,

Τὴν βησσῶν κραυγὴν κλαυθμὸς ὀπάζει ὁμοῦ.

Κεύθεται οἰκήτωρ ἤτοι γὰρ Νωὲ κιβωτοῦ,

Ἥξει τῶν πλάνων αὖ κατάκλυσμα μέγα.

Οἴμοι! πάντα προμεῖ στὸν ὀδυρμοῖς· Παῦλος ἀπῆλθεν.

Εἴσοδός ἐς αὐτὴ τοῖς βαρέεσσι λύκοις.

Ἐν δὲ Θεοῦ κεῖται πολυμηδοῦς γούνασιν ἐλπὶς,

Οἶδε πόρους ἀγαθῶν, ὠφέλιμ' εἶδε μόνος.

Τοῖς περιγιγνομένοις, ὅσον ἂν χρόνον ἄρτιος ἐστιν

Τῇ πίστει ζῶντον στειχομένων τε τρέχος,

Κυδάλιμον σεμνόν τ' ἔσται τοῦτ' οὔνομα πᾶσιν,

Οὗ τὴν μνημοσύνην μήποτε καιρὸς ἔδει.

Αὐτὰρ ἐπεὶ μὴ θαυμάζειν παρέοντ' ἐπὶ γαίας,

Κὶ φωνῆς κλύειν ἦν μεταπαυτα θέμες,

Μνῆμ' ἱερὸν σαρκὸς, σεμνὴν ὀστῶν ἀποθήκην,

Λείπομεν, ἀχθέντες, μακρὰ ἀποτατλόμενοι.

Ἄχρις ἂν οὗ μορφὴν στρέψῃ πρὸς σῶμα θεάνδρου

Ἐν δόξῃ λάμψων ἀστέρος οὐρανίου.



Ung. VI 1

= [Occasionalia Vol. 2.
= Funeralia K–R.]

X 2855981

WR

WD 18

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-288555-p0008-0

# ΤΟ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΠΑΝΔΗΜΟΝ ΠΕΝΘΟΣ

Ἐπὶ

τῷ ἐνταφιασμῷ

Ἀνδρὸς

σεμνοτάτου, μεγαλοπρεπέως, καὶ περιωνύμου

Κυρίου

# ΚΑΣΠΑΡΟΣ ΛΟΙΣΧΗΡΟΥ,

Τῆς ἁγίου Θεολογίας διδασκάλου,

καὶ ταύτης καθηγητοῦ πάντων ἐξόχου, τῆς ἑαυτοῦ τάξεως ὁμοῦ καὶ τῆς γερουσίας ἐκκλησιαστικῆς πρεσβυτέρου, ποιμένος τῆς ἐν λευκόριδι ποιμένου ἐκκλησίας, τῶν κύκλῳ ἐν ὅλῃ τῇ ἐπαρχίᾳ ἐκκλησιῶν ἐπισκόπου εὐκλεεστάτου.

Τῇ ιδ' ἡμέρᾳ Αὐγούστου

Ἔτει χριστογονίας Μ |Η| ΗΜ ΔΠIII

ἐναγιζομένου

Καί τοῖς ΚΑΤ' ΙΔΙΑΝ ΔΑΚΡΥΣΙΝ

παραπέμπειν ἐσπούδασε

θεραπευτὴς κυδαλίμου ὀνόματος αὐτοῦ ὑποχείριος

Γεώργιος Οὐόλδικε

Ἀττερσληβίᾳ - Δᾶνος.

---

Ἐν Βιτλεμβέργῃ, ἐτυπώθη παρὰ Χριστιανῷ Σχροιδέρῳ,

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-288555-p0009-9